6 Καὶ ἡ σελήνη ἐν πᾶσιν εἰς καιρὸν αὐτῆς,
ἀνάδειξιν χρόνων καὶ σημεῖον αἰῶνος·
7 ἀπὸ σελήνης σημεῖον ἑορτῆς,
φωστὴρ μειούμενος ἐπὶ συντελείας.
8 μὴν κατὰ τὸ ὄνομα αὐτῆς ἐστιν
αὐξανόμενος θαυμαστῶς ἐν ἀλλοιώσει,
σκεῦος παρεμβολῶν ἐν ὕψει,
ἐν στερεώματι οὐρανοῦ ἐκλάμπων.
9 κάλλος οὐρανοῦ δόξα ἄστρων,
κόσμος φωτίζων ἐν ὑψίστοις κυρίου·
10 ἐν λόγοις ἁγίου στήσονται κατὰ κρίμα
καὶ οὐ μὴ ἐκλυθῶσιν ἐν φυλακαῖς αὐτῶν.
11 ἰδὲ τόξον καὶ εὐλόγησον τὸν ποιήσαντα αὐτὸ
σφόδρα ὡραῖον ἐν τῷ αὐγάσματι αὐτοῦ·
12 ἐγύρωσεν οὐρανὸν ἐν κυκλώσει δόξης,
χεῖρες ὑψίστου ἐτάνυσαν αὐτό.
13 Προστάγματι αὐτοῦ κατέσπευσεν χιόνα
καὶ ταχύνει ἀστραπὰς κρίματος αὐτοῦ·
14 διὰ τοῦτο ἠνεῴχθησαν θησαυροί,
καὶ ἐξέπτησαν νεφέλαι ὡς πετεινά·
15 ἐν μεγαλείῳ αὐτοῦ ἴσχυσεν νεφέλας,
καὶ διεθρύβησαν λίθοι χαλάζης·
16 καὶ ἐν ὀπτασίᾳ αὐτοῦ σαλευθήσεται ὄρη,
ἐν θελήματι αὐτοῦ πνεύσεται νότος.
17 φωνὴ βροντῆς αὐτοῦ ὠνείδισεν γῆν
καὶ καταιγὶς βορέου καὶ συστροφὴ πνεύματος.
18 ὡς πετεινὰ καθιπτάμενα πάσσει χιόνα,
καὶ ὡς ἀκρὶς καταλύουσα ἡ κατάβασις αὐτῆς·
κάλλος λευκότητος αὐτῆς ἐκθαυμάσει ὀφθαλμός,
καὶ ἐπὶ τοῦ ὑετοῦ αὐτῆς ἐκστήσεται καρδία.
19 καὶ πάχνην ὡς ἅλα ἐπὶ γῆς χέει,
καὶ παγεῖσα γίνεται σκολόπων ἄκρα.
20 ψυχρὸς ἄνεμος βορέης πνεύσει,
καὶ παγήσεται κρύσταλλος ἐφ᾽ ὕδατος·
ἐπὶ πᾶσαν συναγωγὴν ὕδατος καταλύσει,

$6^1$] και σεληνην εποιησεν εν στασει (uel εις στασιν) εις καιρον αυτης pau. || $7^2$ συντελειας] ς > S*A, -λειαις $S^c$†; + αιωνος S*† || $8^2$ αυξανομενη B | θαυμαστος S | $8^3$ παραβολων B || $9^1$ αστερων S | $9^2$ κυριος BS*† || $10^1$ αγιου] -οις B†, αυτου V† || $11^1$ αυτον AC: item C (non A) in $12^2$ || $13^1$ κατεπαυσεν S || $15^1$ ισχυς εν νεφελαις A || $16^1$ οπτασιαις B† | σαλευθησονται SA | $16^2$] pr. και A | αυτου > B† || $17^1$ ωδινησεν γη A (φωνη est datiuus) || $20^1$ βορεης B† (cf. Thack. p. 124)] βορεας rel. | $20^2$ εφ] αφ B